γλιχομένοις τὰ κατ᾽αὐτὴν προτεθείκαμεν. Τοιγαροῦν ἐς τὸ ὑπόλοιπον τῆς ἡμῶν ἀφηγήσεως τὸν λόγον ἐπαναςρέψωμεν, μακράν που καὶ πέρα τοῦ προκειμένου ἐξοκείλαντες. Ὅπως δὲ καθ᾽ εἱρμὸν καὶ τάξιν προχωρείη ἡμῖν τὰ τῆς λέξεως, καθ᾽ ὁδὸν καὶ αὖθις τὸν λόγον ἰτέον καὶ ἐν ἐπιτόμῳ τὰ ἐν τῇ κατὰ Οὐενετῶν τοῦ βασιλέως Τούρκων συμβάντα μάχῃ, ὡς δυνατὸν, ἀφηγητέον. Ἀπελθόντος τοίνυν Χαϊρατίνεω ἐκ τῆς Κερκυραίων, τῇ τε Κεφαλληνίᾳ προσέβαλε καὶ ἀνδράποδα ἐκ ταύτης οὐκ ὀλίγα ζωγρήσας τῇ Ζακυνθίων ἀπῆρεν. Οὐδὲν δ᾽ ἐκ τῶν τῆς νήσου προσεγγίσας, τῇ Πελοποννήσῳ προσώρμησε, κἀκεῖθεν δ᾽ ἐς Κύθηρα νῆσον ἐκπλεύσας καὶ ταύτην ληϊσάμενος, τὰς ἐν τῷ Αἰγαίῳ νήσους ἐπέθετο, καὶ πασῶν ὧν Οὐενετοὶ ἐπέταττον νήσων, πλὴν Τήνου καὶ Μύκονος, κύριος καταστὰς, ὅσας μὲν τούτων ὑποτελεῖς ποιήσας, ὅσας δὲ καὶ ἐξανδραποδισάμενος πρὸς Νάξον ἀφίκετο καὶ τὸν ἡγεμόνα Νάξου σὺν τοῖς ὑπ᾽ αὐτὸν νησιδίοις ὑπόφορον καταστήσας, διὰ τοῦ Ἑλλησπόντου ἐς Βυζάντιον ἀπέπλευσε, πλήρης ὢν λείας καὶ ἀνδραπόδων καὶ τῶν ἄλλων ὠφελειῶν, ὧν ἐκ πολεμίων ἀφείλετο. Ὁ δὲ βασιλεὺς Τούρκων Χασίμην, ἕνα τῶν ἀμφ᾽ αὐτὸν πρωτίστων, ἡγεμόνα καὶ σατράπην Πελοποννήσου κατέστησε καὶ μεθ᾽ ἱκανοῦ στρατοῦ ἐς τὰς Οὐενετῶν ἐν Πελοποννήσῳ πόλεις προσβάλλειν ἐκέλευεν.